Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

LIII. Edictum Licinii ne mulieres unà cum viris in Ecclesiam convenirent.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

κόσμον τῶν ἀνθρώπων ἀπεγνώσκει. φύσεως ἐλέγχῳ κακῷ χρώμενος αὐτὸς ἑαυτῷ.

A neutiquam posse censuit; de communi hominum natura ex suomet ipsius morbo pessimè judicans.

## ΚΕΦΑΛΑΙΟΝ ΝΓʹ.

Γυναῖκας εἰς ἐκκλησίας ἀνδράσιν ἅμα μὴ συνάγεσθαι πρόσταγμα.

Διὸ δὴ δεύτερον νόμον ἐτίθει, μὴ δεῖν προστάττων ἄνδρας ἅμα γυναιξὶν ἐπὶ τὰς τοῦ Θεοῦ παρεῖναι εὐχάς. μηδ᾽ ἐπὶ τὰ σεμνὰ τῆς ἀρετῆς διδασκαλεῖα φοιτᾶν τὸ γυναικῶν φῦλον. μηδ᾽ Ἐπισκόπους καθηγεῖσθαι γυναιξὶ θεοσεβῶν λόγων. γυναῖκας δ᾽ αἱρεῖσθαι γυναικῶν διδασκάλους. γελωμένων δὲ τούτων παρὰ τοῖς πᾶσιν, ἄλλό τι πρὸς καθαίρεσιν τῶν ἐκκλησιῶν ἐμηχανᾶτο. δεῖν φήσας πυλῶν ἐκτὸς ἐπὶ καθαρῷ πεδίῳ τὰς ἐξ ἔθους συγκροτήσεις τῶν λαῶν ποιεῖσθαι. τῶν γὰρ κατὰ πόλιν προσευκτηρίων, παρὰ πολὺ τὸν ἐκτὸς πυλῶν ἀέρα τῷ κοινῷ διαλλάττειν.

## Caput LIII.

*Edictum Licinii, ne mulieres unà cum viris in Ecclesiam convenirent.*

IDircò alteram legem tulit, qua jubebat, ne viri orandi causâ in Ecclesiam Dei simul cum mulieribus convenirent; néve mulieres ad venerandas virtutis scholas discendi causâ ventarent: postremò ne Episcopi divinæ religionis præcepta mulieribus traderent: B sed ut mulieres ad id electæ, docendis mulieribus præficerentur. Quæ cùm ab omnibus riderentur, aliud quidpiam commentus est ad Ecclesiarum eversionem. Jussit enim ut solemnes populorum conventus extra portas in aperta planicie celebrarentur; asserens liberum extra portas aërem turbis longè commodiorem esse, quàm oratoria intra urbem sita.

## ΚΕΦΑΛΑΙΟΝ ΝΔʹ.

Τοὺς μὴ θύοντας, ἀποστρατεύεσθαι· καὶ τοὺς ἐν φυλακαῖς μὴ τρέφεσθαι.

Ὡς δ᾽ οὐκ εἶχεν οὐδ᾽ ἐν τούτῳ τοὺς ὑπακούοντας, γυμνῇ λοιπὸν τῇ κεφαλῇ, τοὺς κατὰ πόλιν στρατιώτας, ἡγεμονικῶν ταγμάτων ἀποβάλλεσθαι, εἰ μὴ τοῖς δαίμοσιν αἱροῖντο θύειν, παρεκελεύετο. ἐγυμνοῦντο δῆτα τῶν κατὰ πᾶν ἔθνος ἀξιωμάτων αἱ τάξεις, ἀνδρῶν θεοσεβῶν· ἐγυμνοῦτο δὲ καὶ αὐτὸς ὁ τούτων νομοθέτης, εὐχῶν ὁσίων ἀνδρῶν ἑαυτὸν στερήσας. τί δεῖ τῶν ἐκτὸς μνημονεύειν, ὡς τοὺς εἱρκταῖς ταλαιπωρουμένους μηδένα μεταδόσει τροφῆς φιλανθρωπεύεσθαι ἐκέλευσε, μηδ᾽ ἐλεεῖν τοὺς ἐν δεσμοῖς λιμῷ διαφθειρομένους. μηδ᾽ ἁπλῶς ἀγαθὸν εἶναι μηδένα. μηδ᾽ ἀγαθόν τι πράττειν, τοὺς καὶ πρὸς τῆς φύσεως ἐπὶ τὸ συμπαθὲς τῶν πέλας ἑλκομένους. καὶ ἦν γε νόμων οὗτος ἄντικρυς ἀναιδὴς καὶ παρανομώτατος, πᾶσαν ὑπερακοντίζων φύσιν. ἐφ᾽ ᾧ καὶ τιμωρία προσέκειτο, τοὺς ἐλεοῦντας τὰ ἴσα πάσχειν τοῖς ἐλεουμένοις, ὑπομένοντας τιμωρίας τοὺς τὰ φιλάνθρωπα διακονουμένους.

## Caput LIV.

C *Quomodo eos qui sacrificare renuissent, militia solvit: & carcere inclusos, ali vetuit.*

VErùm cùm ne in hoc quidem obsequi sibi illos videret, tandem rejectis ambagibus, nudo quod ajunt capite, decrevit ut milites qui per singulas urbes apparebant judicibus, nisi dæmonibus sacrificare mallent, ab apparitione Præsidialis officii removerentur. Proinde officia Magistratuum per singulas provincias viris piis ac religiosis nudabantur. Sed & ipse qui hanc legem tulerat, nudabatur orationibus sanctorum virorum, quib⁹ semetipse privat. Quid præterea commemorare attinet, quo pacto præceperit, ne miseris in car-
D cere detentis alimenta quisquam humaniter subministraret; néve quis homines in vinculis fame contabescentes, miseratione prosequeretur: hoc est, ne quis omninò vir bonus existeret; néve ii qui ad proximorum miserationem naturâ ipsâ ducuntur, boni quidquam præstarent. Fuit hæc profectò quidem lex palam impudens & immanissima; omnemq; morum feritatem facilè superavit. Quinetiam legi adjecta erat hæc pœna, ut qui inclusis stipem dedissent, pari cum ipsis supplicio plecterentur; utq; in carcerem & vincula conjecti eandem cum noxiis pœnam subirent, qui humanitatis officia eis præstitissent.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN